ΑΝΑΣΤ. Κ. Π. ΣΤΑΜΟΥΛΗ
ΤΟΥ ΕΚ ΣΗΛΥΒΡΙΑΣ
ΘΡΑΚΙΚΑ

# ΕΥΜΕΝΗΣ ὁ ΚΑΡΔΙΑΝΟΣ.

Felix Jacoby: Fragmente der Griechischen Historiker τ. II (B) σ. 618-22

σ. 618-622

Ἀθήναιος X 44 p. 434B:
Ἐν ταῖς Ἐφημερίσιν αὐτοῦ (sc. Ἀλεξάνδρου), ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος.

Ἀρριανὸς Ἀνάβασις VII 4, 6:
Εὐμενεῖ τῷ γραμματεῖ τῷ βασιλικῷ.

Κορνήλιος Νέπως XVIII 1, 4-6:
Hic (sc. Eumenes) peradulescentulus ad amicitiam accessit Philippi.... eum habuit ad manum scribae loco.... hunc locum tenuit amicitiae apud Philippum annos septem; illo interfecto eodem gradu fuit apud Alexandrum annos tredecim. Novissimo tempore praefuit etiam alterae equitum alae, quae Hetaerice appellabatur. Utrique autem in consilio semper adfuit et omnium rerum habitus est particeps.

Πλούταρχος Εὐμένης 1:
....Ἐκαλεῖτο μὲν ἀρχιγραμματεύς, τιμῆς δὲ ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως καὶ τὴν Περδίκκου παραλαβεῖν ἱππαρχίαν, ὅτε Περδίκκας ἀποθανόντος Ἡφαιστίωνος εἰς τὴν ἐκείνου προῆλθε τάξιν.

Πλούταρχος Ἀλέξανδρος 23:
Πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευε (sc. Ἀλέξανδρος) καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν Ἐφημερίδων.

Αἰλιανὸς VH III 23:
Ἐκεῖνα δ' οὐκέτι καλὰ Ἀλεξάνδρου· Δίου (?) μηνός φασι πέμπτῃ ἔπινε παρ' + Εὐμαίῳ, εἶτα ἕκτῃ ἐκάθευδεν ἐκ τοῦ πότου· καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἔζησεν, ὅσον ἀναστὰς χρηματίσαι τοῖς ἡγεμόσιν ὑπὲρ τῆς αὔριον πορείας, λέγων ὅτι ἔσται πρωί. καὶ ἑβδόμῃ εἱστιᾶτο παρὰ Περδίκκᾳ, καὶ ἔπινε πάλιν· καὶ ὀγδόῃ ἐκάθευδε. πέμπτῃ δὲ ἐπὶ δέκα τοῦ αὐτοῦ μηνὸς καὶ ταύτῃ ἔπινε, καὶ τῇ ἑπομένῃ τὰ εἰθισμένα ἔδρα τὰ ἐκ τοῦ πότου. παρὰ Βαγώᾳ ἐδείπνησε τετράδι μετὰ εἰκάδα· ἀπεῖχε δὲ τῶν βασιλείων ὁ Βαγώα οἶκος δέκα σταδίους· εἶτα τῇ τρίτῃ ἐκάθευδε. δυοῖν οὖν θάτερον, ἢ Ἀλέξανδρος κακῶς τοσαύτας τοῦ μηνὸς ἡμέρας ἑαυτὸν ἐζημιοῦ διὰ τὸν οἶνον ἢ οἱ ταῦτα καταγράψαντες ψεύδονται. ἔξεστι δὲ ἐκ τούτων εἰκάζειν καὶ τοῦ λοιποῦ χρόνου τὰ ὅμοια αὐτοὺς λέγοντας, ὧν καὶ Εὐμένης ὁ Καρδιανὸς καὶ + ἐκεῖνός ἐστι.

Ἀθήναιος X 44 p. 434B:
"Ἐπειδὴ ὁ Ἀλέξανδρος πο[illegible] καὶ ἀπὸ τῆς μέθης συνεχῶς κοιμᾶσθαι δύο ἡμέρας καὶ δύο νύκτας δηλοῦται διὰ τῶν Ἐφημερίδων αὐτοῦ, ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδιανὸς καὶ Διόδοτος ὁ Ἐρυθραῖος.

Πλούταρχος Quaest. Conv. I 6, 1 p. 623E:
Λόγος ἦν περὶ Ἀλεξάνδρου ... ὡς οὐ πολὺ πίνοντος, ἀλλὰ πολὺν χρόνον ἐν τῷ πίνειν ‹τῷ› διαλέγεσθαι τοῖς φίλοις ἕλκοντος. Ἀπεδείκνυε δ' αὐτοὺς φλυαροῦντας Φίλινος ἐκ τῶν βασιλικῶν Ἐφημερίδων, ἐν αἷς συνεχέστατα γέγραπται καὶ πλειστάκις ὅτι «τήνδε τὴν ἡμέραν ἐκ τοῦ πότου καθεύδων», ἔστι δ' ὅτε «καὶ τὴν ἐφεξῆς».

Ἀρριανὸς Ἀνάβασις VII 25, 1-26, 3:
Καὶ αἱ βασίλειοι Ἐφημερίδες ὧδε ἔχουσιν· πίνειν παρὰ Μηδίῳ αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα καὶ λουσάμενον καθεύδειν τε καὶ αὖθις δειπνεῖν παρὰ Μηδίῳ, καὶ αὖθις πίνειν πόρρω τῶν νυκτῶν. ἀπαλλαχθέντα δὲ τοῦ πότου λούσασθαι· καὶ λουσάμενον ὀλίγον ἐμφαγεῖν καὶ

(ἀκολουθεῖ)

καθεύδειν αὐτοῦ, ἐπειδὴ ἐπύρεσσεν. ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ θῦσαι ὡς νόμος ἦν ἑκάστῃ ἡμέρᾳ, καὶ τὰ ἱερὰ ἐπιθέντα κατακεῖσθαι ἐν τῷ ἀνδρῶνι ἔστε ἐπὶ κνέφας. ἐν τούτῳ δὲ τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας καὶ τοῦ πλοῦ, τοὺς μὲν πεζῇ ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν, τοὺς δὲ ἅμα οἷ πλέοντας ὡς ἐς πέμπτην πλευσουμένους. ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ τῆς ~~κλίνης~~ ὡς ἐπὶ τὸν ποταμὸν καὶ πλοίου ἐπιβάντα διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον· κἀκεῖ αὖθις λουσάμενον ἀναπαύεσθαι. ἐς δὲ τὴν ὑστεραίαν (19 Δαισίου) λούσασθαί τε καὶ αὖθις καὶ θῦσαι τὰ νομιζόμενα. καὶ ἐς τὴν καμάραν εἰσελθόντα κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον· παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν ἀπαντῆσαι ἕωθεν. ταῦτα δὲ πράξαντα δειπνῆσαι ὀλίγον. κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν πυρέσσειν ἤδη ξυνεχῶς τὴν νύκτα ὅλην. τῇ δὲ ὑστεραίᾳ (20 Δαισίου) λούσασθαι καὶ λουσάμενον θῦσαι. Νεάρχῳ δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν ὅπως ἔσται ἐς τρίτην ἡμέραν. τῇ δ' ὑστεραίᾳ (21 Δαισίου) λούσασθαι αὖθις καὶ θῦσαι τὰ τεταγμένα, καὶ τὰ ἱερὰ ἐπιθέντα οὐκέτι ἐλινύειν πυρέσσοντα. ἀλλὰ καὶ ὣς τοὺς ἡγεμόνας εἰσκαλέσαντα παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν ὅπως αὐτῷ ἔσται ἕτοιμα. λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ, καὶ λουσάμενον ἔχειν ἤδη κακῶς. τῇ δὲ ὑστεραίᾳ (22 Δαισίου) μετακομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς τῇ κολυμβήθρᾳ, καὶ θῦσαι μὲν τὰ τεταγμένα, ἔχοντα δὲ πονήρως ὅμως εἰσκαλέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιριωτάτους καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν. τῇ δ' ὑστεραίᾳ (23 Δαισίου) μόγις ἐκκομισθῆναι πρὸς τὰ ἱερὰ καὶ θῦσαι, καὶ μηδὲν ἧσσον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν. ἐς δὲ τὴν ὑστεραίαν (24 Δαισίου) κακῶς ἤδη ἔχοντα ὅμως θῦσαι τὰ τεταγμένα. παραγγεῖλαι δὲ τοὺς μὲν στρατη-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γοὺς διατρίβειν κατὰ τὴν αὐλήν, χιλιάρχας δὲ καὶ πεντακοσιάρχας πρὸ τῶν θυρῶν. ἤδη δὲ παντάπασι πονήρως ἔχοντα (25 Δαισίου) διακομισθῆναι ἐκ τοῦ παραδείσου ἐς τὰ βασίλεια. εἰσελθόντων δὲ τῶν ἡγεμόνων γνῶναι μὲν αὐτούς, φωνῆσαι δὲ μηδὲν ἔτι ἀλλὰ εἶναι ἄναυδον. καὶ τὴν νύκτα πυρέσσειν κακῶς· καὶ τὴν ἡμέραν καὶ τὴν ἄλλην νύκτα (26 Δαισίου) καὶ τὴν ἡμέραν (27 Δαισίου). οὕτως ἐν ταῖς Ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται· καὶ ἐπὶ τούτοις ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν, οἱ μὲν ὡς ζῶντα ἔτι ἴδοιεν, οἱ δὲ ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ· τοὺς πολλοὺς <δὲ> ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. τὸν δὲ ἄφωνον μὲν εἶναι λέγουσι παραπορευομένης τῆς στρατιᾶς, δεξιοῦσθαι δὲ ἑκάστους τήν τε κεφαλὴν ἐπαίροντα μόγις καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα. λέγουσι δὲ αἱ Ἐφημερίδες αἱ βασίλειοι ἐν τοῦ Σαράπιδος τῷ ἱερῷ Πείθωνά τε ἐγκοιμηθέντα καὶ Ἄτταλον καὶ Δημοφῶντα καὶ Πευκέσταν, πρὸς δὲ Κλεομένην τε καὶ Μενίδαν καὶ Σέλευκον, ἐπερωτᾶν τὸν θεὸν εἰ λῷον καὶ ἄμεινον Ἀλεξάνδρῳ ἐς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ· καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ μὴ κομίζεσθαι ἐς τὸ ἱερόν, ἀλλὰ αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον. ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους, καὶ Ἀλέξανδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν, ὡς τοῦτο ἄρα ἤδη ὂν τὸ ἄμεινον. οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλῳ οὔτε Πτολεμαίῳ ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν.....

Πλούταρχος Ἀλέξανδρος 76:

Ἐν δὲ ταῖς Ἐφημερίσιν οὕτως γέγραπται <τὰ> περὶ τὴν νόσον· ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ λουτρῶνι διὰ τὸ πυρέσσειν. τῇ δὲ ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. εἶτ' ὀψὲ λου-

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σάμενος καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς ἐμφαγὼν διὰ νυκτὸς ἐπυ-
ρεξε. τῇ εἰκάδι λουσάμενος πάλιν ἔθυσε τὴν εἰθισμένην
θυσίαν. καὶ κατακείμενος ἐν τῷ λουτρῶνι τοῖς περὶ Νέαρχον
ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην
θάλασσαν. τῇ ἑνδεκάτῃ φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνε-
φλέχθη καὶ τὴν νύκτα βαρέως ἔσχε. καὶ τὴν ἐπιοῦσαν ἡμέραν
ἐπύρεσσε σφόδρα. καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην
κολυμβήθραν, ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων
ἡγεμονιῶν τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. ἑβδόμῃ
σφόδρα πυρέσσων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά. τοὺς δὲ ἡγε-
μόνας ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχας
δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. εἰς δὲ τὰ πέραν βασί-
λεια διακομισθεὶς τῇ [illegible] μικρὸν ὕπνωσεν, ὁ δὲ πυρετὸς οὐκ
ἀνῆκεν. ἐπελθόντων δὲ τῶν ἡγεμόνων ἦν ἄφωνος, ὁμοίως
δὲ καὶ τὴν πέμπτην. διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι,
καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας καὶ διηπείλουν τοῖς
ἑταίροις, ἕως ἐβιάσαντο· καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν ἐν
τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον.
ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σα-
ραπεῖον ἀποσταλέντες ἠρώτων, εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον.
ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε. τῇ δὲ τρίτῃ φθίνοντος (28
Δαισίου) πρὸς δείλην ἀπέθανε. τούτων τὰ πλεῖστα κατὰ λέξιν
ἐν ταῖς Ἐφημερίσιν οὕτω γέγραπται.

σ. 682

Ἀρριανὸς Ἰνδ. 17, 6–42, 10.

Ἀλέξανδρος γὰρ ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ Ὑδά-
σπεω τῇσιν ὄχθῃσιν, ἐπιλεξάμενος ὅσοι τε Φοίνικες καὶ ὅσοι Κύπριοι
ἢ Αἰγύπτιοι εἵποντο ἐν τῇ ἄνω στρατηλασίῃ ἐκ τούτων ἐπλήρου
τὰς νέας, ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεξάμενος ὅσοι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῷ θαλασσίῳ ἔργῳ δαήμονες. Ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι οἱ ἐν τῇ στρατιῇ, οἷσ ταῦτα ἐμέλε, καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι. τριήραρχοι δὲ αὐτῷ ἐπεστάθησαν ἐκ Μακεδόνων ..... Ἑλλήνων δὲ Μήδιος μὲν Ὀξυθέμιδος Λαρισαῖος, Εὐμένης δὲ Ἱερωνύμου ἐκ Καρδίης, Κριτόβουλος δὲ Πλάτωνος Κῷος, καὶ Θόας Μηνοδώρου καὶ Μαίανδρος Μανδρογένους Μάγνητες, Ἄνδρων δὲ Καβήλεω Τήιος. Κυπρίων δὲ Νικοκλέης Πασικράτους Σόλιος καὶ Νιθάφων Πνυταγόρεω Σαλαμίνιος. Ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη Νέαρχος Ἀνδροτίμου. [τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος, ᾤκεε δὲ ἐν Ἀμφιπόλει τῇ ἐπὶ Στρυμόνι].

Ἐν F. Jacoby Frg. Griech. Hist. τ II (BD) σ. 403-406